www.tezaurliturgic.ro

# ΜΑΪΟΥ ΙΖ΄

## Μνήμη τοῦ Ἁγίου ἐνδόξου Νεομάρτυρος

# ΝΙΚΟΛΑΟΥ

## τοῦ ἐκ Μετσόβου, ἐν Τρικκάλοις ἀθλήσαντος

Εἴδησις: Εἰς τὴν παροῦσαν ἑορτὴν λαμβάνομεν ὡς ὁδηγὸν τὴν τυπικὴν διάταξιν τῆς Ἑορτῆς τοῦ Ἁγίου Κωνσταντίνου.

### ΕΝ ΤΩ ΕΣΠΕΡΙΝΩ

Μετὰ τὸν Προοιμιακόν, τό, Μακάριος ἀνήρ. Εἰς δὲ τό, Κύριε ἐκέκραξα ἱστῶμεν στίχους στ΄ καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια.

Ἦχος δ΄. Ὡς γενναῖον ἐν Μάρτυσι.

Ὡς νομίμως ἀθλήσαντα, ἐν ὑστέροις τοῖς ἔτεσιν, Ἀθλητὰ Νικόλαε εὐφημοῦμέν σε· σὺ γὰρ Χριστὸν ὡμολόγησας, ἀνδρείῳ φρονήματι, καὶ κατῄσχυνας ἐχθρόν, τῇ ἀτρέπτῳ ἐνστάσει σου· διὰ τοῦτό σε, ὁ τῶν ὅλων Δεσπότης θαυμαστώσας, τῶν Μαρτύρων τῇ χορείᾳ, περιφανῶς σε ἠρίθμησε.

Τοῦ Μετσόβου τὸ βλάστημα, καὶ λαμπρὸν σεμνολόγημα, καὶ Τρικκάλων ἔνθεον ἐγκαλλώπισμα, ᾀσματικῶς ἀνυμνοῦμέν σε, παμμάκαρ Νικόλαε· τῆς μὲν γόνος γὰρ σεπτός, καὶ πολύτιμος στέφανος, ὤφθης Ἅγιε, τὴν δὲ ἄθλοις ἡγίασας οἰκείοις· καὶ ἀμφότεροι τὴν μνήμην, τὴν ἱεράν σου γεραίρουσι.

Ὡς τὸ πῦρ τὸ οὐράνιον, ὃ βαλεῖν ὤφθη ἄνθρωπος, ἐπὶ γῆς ὁ Κύριος εἰσδεξάμενος, ἀνδρειοφρόνως ὑπέμεινας, πυρὸς τὴν κατάφλεξιν, τῇ ἀγάπῃ τοῦ Χριστοῦ, δροσιζόμενος Ἅγιε, καὶ ὡς ἄμωμον, ἱερεῖον καὶ κάρπωμα προσήχθης, τῷ δοξάσαντί σε Μάρτυς, ὡς ἀθλητὴν γενναιότατον.

Τῶν Μαρτύρων ἰσότιμος, ἀληθῶς ἀναδέδειξαι, ὡς αὐτῶν τοῖς ἴχνεσιν ἠκολούθησας· καταβαλὼν γὰρ τὸν δράκοντα, τὸν πρῴην σε τρώσαντα, δι᾽ ἀθλήσεως στερρᾶς, Νεομάρτυς Νικόλαε, νίκης στέφανον, ἐκ χειρὸς τοῦ Κυρίου ἐκομίσω, καὶ λαμπρῶς ἐμεγαλύνθης, τῶν ἰαμάτων ταῖς χάρισι.

Ὥσπερ ἄστρον πολύφωτον, τῇ τοῦ Πνεύματος χάριτι, ἡ ἁγία Κάρα σου Μάρτυς ἔλαμψεν, ἡ κεκρυμμένη τὸ πρότερον, παμμάκαρ Νικόλαε, καὶ ἐδόθη τοῖς πιστοῖς, ὡς θησαύρισμα ἔνθεον, ἀπελαύνουσα, τῶν ἀκρίδων τὰ σμήνη παραδόξως, καὶ λοιμώδους ἀσθενείας, ἐκ τῶν πιστῶς προσιόντων σοι.

Τὴν ἁγίαν σου ἄθλησιν, Νεομάρτυς Νικόλαε, τῶν Τρικκάλων σύλλογοι μακαρίζομεν, ἐν τῷ ἁγίῳ τεμένει σου, συντρέχοντες Ἅγιε, ὅ σοι ἤγειρε πιστῶς, ὁ ποιμὴν ὁ καλὸς ἡμῶν, ὃν διάσωζε, καὶ τὴν ποίμνην αὐτοῦ ἐκ πάσης βλάβης, ὡς θερμὸς ἡμῶν προστάτης, καὶ πρέσβυς μέγας πρὸς Κύριον.

Δόξα... Ἦχος πλ. β΄.

Σήμερον ὡς ἔαρ νοητόν, ἡ ἁγία σου μνήμη ἐπέστη, τὰς ψυχὰς ἡμῶν εὐφραίνουσα, Νεομάρτυς Νικόλαε· ὅθεν πιστῶς συνελθόντες, τοὺς ἄθλους σου γεραίρομεν, καὶ ἐν ἀγαλλιάσει βοῶμέν σοι· χαίροις ὁ τῶν πάλαι Μαρτύρων, μιμητὴς καὶ ὁμότροπος, τοῖς ὑπὲρ Χριστοῦ φανεὶς ἀγῶσί σου· χαίροις ὁ τῆς Ἠπείρου φοῖνιξ νεοθαλὴς καὶ κατάκαρπος, καὶ τῶν Τρικκάλων ἀρωγὸς θερμότατος· χαίροις ὁ τῶν ἀκρίδων ταχὺς διώκτης, καὶ λοιμικῶν ἀρρωστημάτων,

www.tezaurliturgic.ro



ἰσχυρὸς ὀλετήρ. Ὡς ἔχων παρρησίαν πρὸς Χριστόν, ἀπαύστως ἱκέτευε, ὑπὲρ τῶν τιμώντων σε.

Καὶ νῦν... Τῆς Ἑορτῆς.

Εἴσοδος, Φῶς ἱλαρόν, τὸ Προκείμενον τῆς ἡμέρας, καὶ τὰ Ἀναγνώσματα.

Προφητείας Ἡσαΐου τὸ Ἀνάγνωσμα.

(Κεφ. μγ', 9).

Τάδε λέγει Κύριος· Πάντα τὰ ἔθνη συνήχθησαν ἅμα, καὶ συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν. Τίς ἀναγγελεῖ ταῦτα ἐν αὐτοῖς; ἢ τὰ ἐξ ἀρχῆς τίς ἀκουστὰ ποιήσει ὑμῖν; Ἀγαγέτωσαν τοὺς μάρτυρας αὐτῶν καὶ δικαιωθήτωσαν, καὶ εἰπάτωσαν ἀληθῆ. Γίνεσθέ μοι μάρτυρες, καὶ ἐγὼ μάρτυς Κύριος ὁ Θεός, καὶ ὁ παῖς, ὃν ἐξελεξάμην· ἵνα γνῶτε, καὶ πιστεύσητε, καὶ συνῆτε, ὅτι ἐγώ εἰμι. Ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεός, καὶ μετ' ἐμὲ οὐκ ἔσται. Ἐγώ εἰμι ὁ Θεός, καὶ οὐκ ἔστι πάρεξ ἐμοῦ ὁ σώζων. Ἐγὼ ἀνήγγειλα καὶ ἔσωσα, ὠνείδισα, καὶ οὐκ ἦν ἐν ὑμῖν ἀλλότριος. Ὑμεῖς ἐμοὶ μάρτυρες, καὶ ἐγὼ Κύριος ὁ Θεός· ὅτι ἀπ' ἀρχῆς ἐγώ εἰμι, καὶ οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος. Ποιήσω, καὶ τίς ἀποστρέψει αὐτό; Οὕτω λέγει Κύριος ὁ Θεός, ὁ λυτρούμενος ἡμᾶς, ὁ ἅγιος τοῦ Ἰσραήλ.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.

(Κεφ. γ', 1).

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα· οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ' αὐτόν, συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.

(Κεφ. ε', 15).

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου· ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτούς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα, δικαιοσύνην· καὶ περιθήσεται κόρυθα, κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον, ὁσιότητα· ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ρομφαίαν. Συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας· πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν, ἐπὶ σκοπὸν ἁλοῦνται, καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ριφήσονται χάλαζαι. Ἀγανακτήσει κατ' αὐτῶν ὕδωρ θαλάσσης· ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως. Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς, καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν, βασιλεῖς, καὶ σύνετε· μάθετε δικασταὶ περάτων γῆς· ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους, καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν· ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν, καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

Εἰς τὴν Λιτήν. Ἰδιόμελα.

Ἦχος α'.

Ἀγάλλεται ἐνθέως, ἡ τοῦ Μετσόβου κωμόπολις, σεμνυνομένη τοῖς σπαργάνοις σου, Νεομάρτυς Νικόλαε· ἀλλὰ πλέον χαίρει, ἡ τῶν Τρικκάλων πόλις, ἁγιασθεῖσα τῇ ἀθλήσει σου, καὶ ἀγαμένη τὴν χάριν, τὴν προϊοῦσαν ἑκάστοτε, ἐκ τῆς ἁγίας Κάρας σου· καὶ ἀμφότεραι τὴν μνήμην σου τελοῦσαι, τὴν προστασίαν σου ἐκδέχονται· καὶ τῷ θαυμάτων σε δοξάσαντι δυνάμει, ὁμοφώνως βοῶσι· Κύριε δόξα σοι.

Ἦχος β'.

Ἀθλητικοὺς ὑπελθὼν ἀγῶνας, τὸν πρῴην σε πτερνίσαντα ἐχθρόν, περιφανῶς καταβέ-

www.tezaurliturgic.ro



βληκας, Ἀθλοφόρε Νικόλαε· τοῦ Χριστοῦ γὰρ τὸ ὄνομα, εὐθαρσῶς ὡμολόγησας· καὶ ἐν μέσῳ τῶν ἀνόμων, ἀπτοήτως ἐβόας· Χριστιανός εἰμι ὦ πλάνοι· τῆς γὰρ ἀγάπης τοῦ Χριστοῦ, οὐδέν με χωρίσει· πρὸς αὐτὸν γὰρ ἐπείγομαι, διὰ θανάτου φθάσαι, ἐν εὐφροσύνῃ κράζων· Κύριε δόξα σοι.

### Ἦχος γ΄.

Τῇ ἀγάπῃ τοῦ Χριστοῦ, ἀναφλεχθεὶς τὴν ψυχήν, τὴν ἀναφθεῖσάν σοι πυράν, οὐδόλως ἐπτοήθης, Νεομάρτυς Νικόλαε, ἀλλ' εἰσῆλθες ἐν αὐτῇ, ἀγαλλομένῃ ψυχῇ· ὢ τῆς στερρᾶς σου ἀνδρείας, καὶ τῆς ἀρίστης προσφορᾶς! ὡς γὰρ θεῖον ὁλοκαύτωμα, τελειωθεὶς ἐν αὐτῇ, καὶ λογικὴ θυσία, καὶ εὐῶδες θυμίαμα, προσηνέχθης τῷ Χριστῷ, γηθοσύνως κραυγάζων· Κύριε δόξα σοι.

### Ἦχος δ΄.

Τοῦ μαρτυρίου ἀνύσας τὸν δίαυλον, μετὰ πάντων τῶν Μαρτύρων ἐδοξάσθης, ὡς Ἀθλητὴς ἐνθεώτατος, Νεομάρτυς Νικόλαε· θαυμάτων γὰρ βλυστάνει δωρεάς, ἡ ἁγία Κάρα σου, καὶ πᾶσι παρέχουσα τὰ πρὸς σωτηρίαν αἰτήματα, τρανῶς ὑπεμφαίνει, ἣν εὗρες δόξαν παρὰ Χριστοῦ. Ὅθεν τῶν Τρικκαίων οἱ δῆμοι, τὴν σὴν μνήμην ἑορτάζομεν, ἐν τῷ ναῷ σου συνελθόντες, ὃν πίστει καὶ πόθῳ ἐδειμάμεθα, τῇ μαρτυρικῇ σου χάριτι, τῷ Σωτῆρι βοῶντες· Κύριε δόξα σοι.

### Δόξα... Ὁ αὐτός.

Τὸν Ἀθλοφόρον τοῦ Χριστοῦ, τὸν ἐξ Ἠπείρου λάμψαντα, καὶ τὴν Θεσσαλίαν δαδουχοῦντα τοῖς θαύμασι, Νικόλαον τὸν ἔνδοξον, μαρτυρικοῖς ἐπαίνοις στέψωμεν· φερωνύμως γὰρ νικήσας, δι' εὐσεβοῦς ὁμολογίας, τῶν ἀντικειμένων τὰς φάλαγγας, τῶν παθῶν τοῦ Χριστοῦ, ἀθλητικοῖς πόνοις ἐκοινώνησε· καὶ διὰ πυρὸς τελέσας τὸν ἀγῶνα, τῆς μελλούσης δόξης, μέτοχος ἐγένετο· ὡς συμπαθὼν γὰρ τῷ Σωτῆρι, ἀξίως συνδεδόξασται, καὶ πρεσβεύει ἀπαύστως, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

### Καὶ νῦν... Τῆς Ἑορτῆς.

### Εἰς τὸν Στίχον, Στιχηρὰ Προσόμοια.

Ἦχος πλ. α΄. Χαίροις ἀσκητικῶν ἀληθῶς.

Χαίροις ὁ Νεομάρτυς Χριστοῦ, ὁ τῶν Μαρτύρων κοινωνὸς καὶ ἐφάμιλλος, ὁ πίστεως τῇ δυνάμει, ἐν ἀσθενείᾳ σαρκός, τὸν ἀρχαῖον ὄφιν τροπωσάμενος· ὁ πλάνην τὴν βέβηλον, θριαμβεύσας τοῖς ἄθλοις σου, καὶ εὐσεβείας, ἄρτι δείξας τὴν δύναμιν, τοῖς ἀγῶσί σου, ὑπὲρ ἥλιον λάμπουσαν· νίκης θείας ἐπώνυμε, Νικόλαε ἔνδοξε, τοῦ εὐσεβοῦς λαοῦ κλέος, τῶν Ὀρθοδόξων ἀγλάϊσμα. Χριστὸν ἐκδυσώπει, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τὸ μέγα ἔλεος.

Στίχ. Δίκαιος ὡς φοῖνιξ ἀνθήσει καὶ ὡσεὶ κέδρος...

Χαίροις ὁ τοῦ Μετσόβου βλαστός, καὶ ἀντιλήπτωρ καὶ ἀγλάϊσμα ἔνθεον, καὶ πάσης δὲ τῆς Ἠπείρου, γέρας καὶ εὖχος καινόν· τῶν Νεομαρτύρων ἀκροθίνιον· Τρικκάλων ὡραΐσμα, καὶ περίδοξον σέμνωμα· τῆς Θεσσαλίας, λαμπηδὼν ἡ νεόφωτος, φῶς τὸ ἄδυτον, τοῖς πιστοῖς σελαγίζουσα· ῥύστης τῶν ἐν ταῖς θλίψεσι, Νικόλαε ἔνδοξε, νόσου λοιμώδους διῶκτα, πληγῆς ἀκρίδων ἐκλύτρωσις. Χριστὸν ἐκδυσώπει, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τὸ μέγα ἔλεος.

Στίχ. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ.

Χαίροις ὁ τοῦ Χριστοῦ ἀθλητής, ὁ τὸν ἀγῶνα τὸν καλὸν τῆς ἀθλήσεως, τελέσας ἀνδρειοφρόνως, καὶ καταπλήξας ἐχθρόν, τῇ σῇ εὐτολμίᾳ καὶ στερρότητι· στερρῶς γὰρ ὑπέμεινας, τοῦ πυρὸς τὴν κατάφλεξιν, καὶ ἐδοξάσθης, ἀριστεὺς ὡς ἀήττητος, ταῖς τοῦ Πνεύματος, δωρεαῖς τε καὶ χάρισιν. Ὅθεν τὴν θείαν Κάραν σου, τρισμάκαρ Νικόλαε, ὡς ἰατρεῖον πλουτοῦντες, ἐκ πάσης νόσου λυτρούμεθα, ὑμνοῦντες αἰνοῦντες, τὸν θαυμάτων ἐνεργείαις, σὲ μεγαλύναντα.

### Δόξα... Ἦχος πλ. δ΄.

Μαρτυρικῶς ἀγωνισάμενος, τὸν τοῦ σκότους ἄρχοντα, τῷ φωτὶ τῆς πίστεως, ἐθριάμβευσας Νικόλαε· τίς οὖν ἀξίως ὑμνήσει, τὴν ἐν ἀθλήσει ἀνδρείαν σου; οὐδόλως γὰρ ἔπτηξας, τὰς ἀπειλὰς τῶν ἐναντίων, ἀλλὰ Χριστοῦ τῷ πόθῳ πυρπολούμενος, τὴν ἐν φλογὶ τελείωσιν,

www.tezaurliturgic.ro 

ὡς ζωῆς αἰωνίου ἀπαρχήν, ἡγήσω μακάριε· ἐν ᾗ χορεύων ἐν δόξῃ, ἀπαύστως ἱκέτευε, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν... Τῆς Ἑορτῆς.

Νῦν ἀπολύεις, τὸ τρισάγιον καὶ τὸ Ἀπολυτίκιον

Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.

Τοῦ Μετσόβου τὸν γόνον καὶ Τρικκάλων τὸ καύχημα, καὶ τῶν πάλαι Μαρτύρων μιμητὴν καὶ ὁμότροπον, Νικόλαον τιμήσωμεν πιστοί, τὸν νέον τοῦ Σωτῆρος Ἀθλητήν, ὡς λυτρούμενον κινδύνων πολυειδῶν, τοὺς πίστει ἀνακράζοντας· δόξα τῷ δεδωκότι σοι ἰσχύν, δόξα τῷ σὲ στεφανώσαντι, δόξα τῷ ἐνεργοῦντι διὰ σοῦ, πᾶσιν ἰάματα.

Καὶ τὸ τῆς Ἑορτῆς.

Ἀπόλυσις.

---

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὴν α΄ Στιχολογίαν, Κάθισμα.

Ἦχος α΄. Τὸν τάφον σου Σωτήρ.

Τὸν νέον τοῦ Χριστοῦ, Ἀθλητὴν καὶ ὁπλίτην, Νικόλαον πιστοί, εὐφημήσωμεν πάντες, τούτου ἑορτάζοντες, ἑορτὴν τὴν σεβάσμιον· ἀθλήσας γάρ, θείᾳ ἀγάπῃ νομίμως, πᾶσιν ἄφεσιν, ἡμῖν θεόθεν αἰτεῖται, καὶ χάριν καὶ ἔλεος.

Καὶ τὸ τῆς Ἑορτῆς.

Μετὰ τὴν β΄ Στιχολογίαν, Κάθισμα.

Ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Ὡς θῦμα εὐπρόσδεκτον, καὶ προσφορὰ λογική, Χριστῷ προσενήνεξαι, διὰ πυρὸς τὸν καλόν, τελέσας ἀγῶνά σου. Ὅθεν ἐθαυμαστώθης καὶ λαμπρῶς ἐδοξάσθης, Νικόλαε Νεομάρτυς παρ᾽ αὐτοῦ τοῦ Σωτῆρος, ᾧ πρέσβευε θεόφρον, ὑπὲρ τῶν τιμώντων σε.

Καὶ τὸ τῆς Ἑορτῆς.

Μετὰ τὸν Πολυέλεον, Κάθισμα.

Ἦχος πλ. δ΄. Τὴν Σοφίαν καὶ Λόγον.

Ὡς θησαύρισμα θεῖον καὶ ἱερόν, τὴν ἁγίαν σου Κάραν καὶ θαυμαστήν, φωτὶ τῷ τοῦ Πνεύματος, παραδόξως ἐκλάμπουσαν, ἐν τοίχῳ κεκρυμμένην, πιστοῖς ἐφανέρωσας, ἁγιασμὸν καὶ χάριν, ἰάσεων νέμουσαν. Ὅθεν καὶ ἀκρίδων, ἀπελαύνουσα σμήνη, λοιμώδη ἀσθένειαν, θεραπεύει ἑκάστοτε, Νεομάρτυς Νικόλαε. Πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην σου.

Καὶ τὸ τῆς Ἑορτῆς.

Τὸ α΄ ἀντίφωνον τοῦ δ΄ ἤχου
καὶ τὸ Προκείμενον.

Δίκαιος ὡς φοῖνιξ ἀνθήσει, καὶ ὡσεὶ κέδρος
ἡ ἐν τῷ Λιβάνῳ...

Στίχ. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ.

Εὐαγγέλιον τὸ ἐν τῷ Ὄρθρῳ
τοῦ Ἁγ. Γεωργίου.

Ὁ Ν΄. Δόξα... Ταῖς τοῦ Ἀθλοφόρου...

Καὶ νῦν... Ταῖς τῆς Θεοτόκου...

Ἰδιόμελον. Ἦχος πλ. β΄.

Στίχ. Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα
ἔλεός σου...

Τὸ πῦρ τῆς θείας ἀγάπης, ἐν τῇ καρδίᾳ φέρων Νικόλαε, τὸ παμφάγον πῦρ οὐκ ἐδειλίασας, τὸ μανικῶς ἀναφθέν σοι· ἀλλ᾽ ἐν αὐτῷ ἀνδρείως εἰσελθών, ὡς χρυσὸς ἐν καμίνῳ ἐδοκιμάσθης, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέχθης, παρὰ Χριστοῦ τοῦ Θεοῦ, τοῦ παρέχοντος διὰ σοῦ, ἡμῖν τὸ μέγα ἔλεος.

Σῶσον ὁ Θεὸς τὸν λαόν σου...

Εἶτα οἱ κανόνες, τῆς Ἑορτῆς καὶ τοῦ Ἁγίου.

Κανὼν τοῦ Ἁγίου οὗ ἡ ἀκροστιχίς·

«Νίκη πιστῶν Νικόλαε πέλεις. Γερασίμου».

www.tezaurliturgic.ro



'Ωδὴ α'. Ἦχος δ'. Ἀνοίξω τὸ στόμα μου.

Νοός μου τὴν ζόφωσιν, ταῖς σαῖς πρεσβείαις διάλυσον, καὶ λόγον μοι δώρησαι, Μάρτυς Νικόλαε, ἵνα μέλψω σου, τὴν ἄθλησιν τὴν θείαν, δι' ἧς ἐμεγάλυνας, Χριστὸν τὸν Κύριον.

Ἰσχύϊ τῆς πίστεως, μαρτυρικῶς ἠνδραγάθησας, ὑστέροις ἐν ἔτεσι, Μάρτυς Νικόλαε, καὶ συνόμιλος, τῶν πάλαι Ἀθλοφόρων, καὶ σύσκηνος γέγονας, ἀθλήσας ἄριστα.

Καθεῖλες τὸν δράκοντα, τὸν πάλαι δόλῳ σε τρώσαντα, Χριστὸν ὡς ἐκήρυξας, διαπρυσίῳ φωνῇ, καὶ περίδοξος, ὁπλίτης ἀληθείας, ἐδείχθης Νικόλαε, θείοις σου σκάμμασι.

Θεοτοκίον.

Ἡ μόνη τὸν Κύριον, ὑπερφυῶς σωματώσασα, δι' ἄφατον ἔλεος, κόσμον καινίζοντα, ἀνακαίνισον, παλαιωθεῖσαν Κόρη, ψυχήν μου τοῖς πάθεσι, τῇ ἐπιλάμψει σου.

Καταβασίας τοῦ Πάσχα, ἢ τῆς τυχούσης ἑορτῆς

'Ωδὴ γ'. Τοὺς σοὺς ὑμνολόγους.

Πυρὶ πυρακτούμενος ἀΰλῳ, ἀγάπης τῆς θείας τοῦ Χριστοῦ, τὸ πῦρ οὐκ ἐδειλίασας, τὸ ὑλικὸν Νικόλαε, ἀλλ' ἀνδρικῶς ὑπέμεινας, τὸν ἐν αὐτῷ Μάρτυς θάνατον.

Ἰδόντες ψυχῆς σου τὴν ἀνδρείαν, τῆς Ἄγαρ ἀπόγονοι δεινοί, ποικίλως σε ᾐκίσαντο, καὶ ἐν εἱρκτῇ κατέκλεισαν, ἀλλὰ Χριστοῦ τῷ ἔρωτι, πάντων ὑπέρτερος πέφηνας.

Σαρκὸς μὴ φεισάμενος θνησκούσης, ὀδύνην μὴ πτήξας τὴν πικράν, τὴν τοῦ πυρὸς Νικόλαε, ἔστης ὡς ἄλλου πάσχοντος, πυρὶ ἀναλισκόμενος, καὶ τῷ Χριστῷ προσαγόμενος.

Θεοτοκίον.

Τὸν πάντων κυήσασα Δεσπότην, λυτρούμενον Ἅδου καὶ φθορᾶς, τοὺς σὲ ὑμνοῦντας Δέσποινα, τῆς δεσποτείας ῥῦσαί με, παθῶν τῶν τυραννούντων με, τῇ συνεργίᾳ τοῦ ὄφεως.

Κάθισμα. Ἦχος γ'. Θείας πίστεως.

Θείας πίστεως, θέρμη τῇ θείᾳ, ἄνθραξ πέφηνας, τῆς εὐσεβείας, καταφλέγων τῶν ἐχθρῶν τὴν ἀπόνοιαν, καὶ εὐσεβούντων θερμαίνων Νικόλαε, πρὸς θεῖον πόθον ψυχὴν τῇ ἀθλήσει σου. Μάρτυς ἔνδοξε, Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Καὶ τὸ τῆς Ἑορτῆς.

'Ωδὴ δ'. Ὁ καθήμενος ἐν δόξῃ.

Ὡς παρέστης τοῖς ἀνόμοις, εὐθαρσῶς ἀνεκραύγαζες, ἀπτοήτῳ γνώμῃ. Τὸν Χριστόν μου σέβω παράνομοι, Χριστιανός εἰμι πάντοτε καὶ ἔσομαι· ὅθεν τέμνετε, καὶ θανατοῦτε τὸ σῶμά μου.

Νεκρωθεὶς τῇ διανοίᾳ, τοῖς παροῦσι Νικόλαε, ὁλικῇ ἐφέσει, πρὸς ζωὴν τὴν ἄνω ἠτένισας, καὶ πρὸς αὐτὴν ἀγαλλόμενος ἀνέδραμες, ὡς ὑπέμεινας, τὸν ἐν πυρὶ πικρὸν θάνατον.

Νόσους παύει ἀνιάτους, καὶ δεινὰ ἀρρωστήματα, ἡ σεπτή σου Κάρα, τῶν προσερχομένων ἐκ πίστεως, καὶ τῆς πληγῆς τῆς ἀκρίδος Μάρτυς ῥύεται, τοὺς τὴν χάριν σου, ἐξαιτουμένους Νικόλαε.

Θεοτοκίον.

Ἱλασμὸν καὶ σωτηρίαν, καὶ ζωὴν τὴν αἰώνιον, ἔβλυσας Παρθένε, ὑπὲρ νοῦν καὶ λόγον κυήσασα, τὸν ἀρχηγὸν τῆς ζωῆς Χριστὸν τὸν Κύριον, τοῖς βοῶσί σοι· χαῖρε Θεοῦ Μῆτερ ἄφθορε.

'Ωδὴ ε'. Ἐξέστη τὰ σύμπαντα.

Κακώσεις καὶ μάστιγας, τῷ σώματί σου Ἅγιε, οἱ υἱοὶ ἐπάγουσι τοῦ σκότους, ἡνίκα εἶδόν σε μὴ ὑπείκοντα, τούτου τῇ βουλῇ τῇ πονηρᾷ, ἀλλ' ἀπρὶξ ἐχόμενον, τῆς Χριστοῦ ἀγαπήσεως.

Ὁμόζηλος πέφηνας, ἐν πᾶσι καὶ ὁμότροπος, τῶν πρὸ σοῦ ἁγίων Ἀθλοφόρων, καὶ μετὰ τούτων συνεδοξάσθης λαμπρῶς, οἷα ἀριστεὺς περιφανής, κατὰ τοῦ ἀλάστορος, Νεομάρτυς Νικόλαε.

Λαμπρῶς ἑορτάζει σου, τὴν μνήμην τὴν πανίερον, πόλις τῶν Τρικκαίων Ἀθλοφόρε, ἁγιασθεῖσα ἐν τῇ ἀθλήσει τῇ σῇ, καὶ τὴν σὴν πατρίδα ἐν χαρᾷ, προσκαλεῖ Νικόλαε, μυστικὴν εἰς ἑστίασιν.

www.tezaurliturgic.ro



### Θεοτοκίον.

Ἁγίων τὸν Ἅγιον, ὑπερφυῶς κυήσασα, ὡς ἁγιωσύνης πάσης πλοῦτος, Ὑπεραγία Κόρη Πανάμωμε, ὄντα με ἐξάγιστον πολλοῖς, πάθεσι τοῦ σώματος, τῇ σῇ σκέπῃ ἁγίασον.

### Ὠδὴ στ΄. Τὴν θείαν ταύτην.

Ἐνδεδυμένος Νικόλαε, Χριστοῦ τὴν ἀπροσμάχητον δύναμιν, ἀνδρείως ἤθλησας, καὶ δροσιζόμενος Πνεύματι, οὐκ ἔδεισας τὴν φλόγα, τὴν ἀναφθεῖσάν σοι.

Πόλις Τρικκαίων συντρέχουσα, τῷ θείῳ σου τεμένει γεραίρει σε, Μάρτυς Νικόλαε, ἣν τῇ θερμῇ ἀντιλήψει σου, ἐκ πάσης δυσπραγίας, τήρει ἀπήμαντον.

Ἐγκεκρυμμένη τὸ πρότερον, ἡ Κάρα σου πιστοῖς πεφανέρωται, τῇ προμηθείᾳ σου, ἁγιασμόν τε καὶ λύτρωσιν, παρέχουσα τοῖς πᾶσι, Μάρτυς Νικόλαε.

### Θεοτοκίον.

Λάμψον μοι φῶς θείας χάριτος, νοός μου διαλῦον τὴν σκότωσιν, Παρθένε ἄχραντε, ἵνα ὁδεύω ἀπρόσκοπτα, θείου φωτὸς τὰς τρίβους, ὁ καταφεύγων σοι.

### Κοντάκιον. Ἦχος δ΄. Ἐπεφάνης σήμερον.

Ὡς ἀστὴρ νεόφωτος λαμπρῶς ἀθλήσας, ἐν ὑστέροις ἔτεσι, τῇ Ἐκκλησίᾳ τοῦ Χριστοῦ, ἐδείχθης Μάρτυς Νικόλαε· διὸ γεραίρει τὴν θείαν σου ἄθλησιν.

### Ὁ Οἶκος.

Τῷ θώρακι περιφραχθείς, τῆς πίστεως Κυρίου, καὶ τετρωμένος τῇ αὐτοῦ, ἀγάπῃ τῇ θεοειδεῖ, πρὸς πόνους μαρτυρίου, ἐν ἀπτοήτῳ λογισμῷ, ἐχώρησας τρισμάκαρ· καὶ ἐν αὐτοῖς ἀριστεύσας ἀθλητικῶς, καθεῖλες τὸν παναλάστορα ἐχθρόν, καὶ ὡς ὁλοκάρπωμα θεῖον, καὶ ἱερεῖον ἔμψυχον, προσήχθης τῷ Κυρίῳ, ῥιφεὶς ὑπὸ τῶν παρανόμων, τῇ βορωτάτῃ καὶ παμφάγῳ φλογί. Ὅθεν ὡς Μάρτυς τῆς εὐσεβείας τροπαιοφόρος, περιφανῶς ἐδοξάσθης, Νικόλαε θαυματουργέ, καὶ θαυμάτων δωρεὰν τῇ Ἐκκλησίᾳ παρέχεις· ἥτις γεραίρει τὴν θείαν σου ἄθλησιν.

### Συναξάριον.

Τῇ ιζ΄ τοῦ αὐτοῦ μηνός, Μνήμη τοῦ Ἁγίου ἐνδόξου Νεομάρτυρος Νικολάου, τοῦ ἐκ Μετσόβου τῆς Ἠπείρου καταγομένου, καὶ ἐν Τρικκάλοις τῆς Θεσσαλίας κατὰ τὸ αχιζ΄ (1617) ἀθλήσαντος καὶ πυρὶ τελειωθέντος.

#### Στίχοι.

Νικόλαος τὴν καῦσιν πυρὸς ἐνέγκας
Πρὸς δρόσον ζωῆς τῆς ἀγήρω μετῆλθε.
Ἑβδομάτῃ δεκάτῃ Νικόλαος πυρὶ λαύρῳ καύθη,

Οὗτος ὁ νέος τοῦ Χριστοῦ ἀθλητὴς ὡρμᾶτο ἐκ Μετσόβου, χώρας κειμένης ἐν Ἠπείρῳ, προελθὼν ἐξ εὐσεβῶν γονέων. Ἐν νεαρᾷ ἡλικίᾳ μετῴκησεν εἰς τὰ κατὰ τὴν Θετταλίαν Τρίκκαλα, ἔνθα δελεασθείς, ἠρνήθη τὴν πρὸς Χριστὸν πίστιν, γενόμενος μωαμεθανός. Ἀλλ' ἀνανήψας, καὶ ἐλθὼν εἰς ἑαυτόν, μετενόησεν εἰλικρινῶς, καὶ ἐπανακάμψας τῇ οἰκείᾳ πατρίδι, ἔζη ἐν τῇ κατὰ Χριστὸν εὐσεβείᾳ. Ἐπαναλύσας εἰς Τρίκκαλα καὶ αὖθις, ἐγνώσθη ὑπό τινος Ἀγαρηνοῦ, καὶ συλληφθεὶς προσήχθη τῷ κριτῇ, ᾧ εὐθαρσῶς ὡμολόγησεν ἑαυτὸν Χριστιανόν, κηρύξας τὸ μέγα τοῦ Σωτῆρος ὄνομα. Καὶ ποικιλοτρόπως ἀπειληθείς, καὶ ἀπηνῶς βασανισθείς, καὶ ἐν εἱρκτῇ καὶ λιμῷ καὶ δίψει, καὶ πάσαις ἄλλαις ἐπιφοραῖς τῶν δεινῶν ἀκλόνητος καὶ ἀρραγὴς μείνας ἐν τῇ πρὸς Χριστὸν πίστει, ὑπέστη χαίρων καὶ ἀγαλλόμενος τὸν διὰ πυρὸς θάνατον, τῇ ιστ΄ (16) Μαΐου, τοῦ σωτηρίου ἔτους αχιζ΄ (1617). Εὐσεβὴς δέ τις καὶ πιστὸς κεραμεύς, χρήμασιν ὠνησάμενος παρὰ τῶν Ἀγαρηνῶν τὴν τιμίαν τοῦ Μάρτυρος Κάραν, ἔκρυψε ταύτην ἔν τινι τοίχῳ τῆς ἑαυτοῦ οἰκίας, φόβῳ τῶν ἐναντίων. Ἔκειτο οὖν ἡ θεία κάρα ἐν τῷ τοίχῳ, παρ' οὐδενὸς γινωσκομένη, ἅτε θανόντων τοῦ τε κρύψαντος καὶ τῶν οἰκογενῶν αὐτοῦ. Ἕτερος δέ τις Χριστιανός, ᾧ ἡ κλῆσις Μέλανδρος, ἐξωνησάμενος τὸν οἶκον, ἐδέχθη νύκτωρ ὑπνώττων ἄνωθεν ἀποκάλυψιν περὶ τῆς κεκρυμμένης τοῦ Μάρτυρος Κάρας, ἐν ᾧ σημείῳ τοῦ τοίχου ἑώρακε λάμπον φῶς· προεθεάσατο γὰρ τοῦτο ἐκεῖσε. Καὶ ὀρύξας, καὶ ἀνευρὼν αὐτήν, δέδωκε τῇ ἱερᾷ τοῦ Βαρλαὰμ Μονῇ, τῇ οὔσῃ ἐν Μετεώροις, ἔνθα καὶ τεθησαύρισται ὡς θησαυρὸς πολύτιμος, θαυματουργοῦσα τῇ τοῦ Πνεύματος χάριτι· πανταχοῦ γὰρ καλουμένη, ἀποδιώκει τὰς θανατηφόρους νόσους, καὶ τὴν φθοροποιὸν καὶ βροτολοιγὸν πανώλην, ἐξαιρέτως δέ, τὰ τῶν ἀκρίδων καταστρέφει σμήνη τῇ ταύτης παρουσίᾳ, ὥστε ἐξίστασθαι πάντας, καὶ αὐτοὺς ἔτι τοὺς δυσσεβεῖς· θαυμαστὸς γὰρ ὁ Θεὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ, ὁ καὶ τὸν νέον αὐτοῦ ἀθλοφόρον Νικόλαον δοξάσας πλουσίᾳ χάριτι.

Ταῖς αὐτοῦ πρεσβείαις Χριστὲ ὁ Θεός, καὶ πάντων σου τῶν Ἁγίων, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

### Ὠδὴ ζ΄. Οὐκ ἐλάτρευσαν.

Ἐνεπύρισας, πυρὶ τῷ τῶν ἀγώνων σου, πλάνην τὴν βέβηλον, τῶν δὲ πιστῶν τὰς ψυχάς,

www.tezaurliturgic.ro

ἐθέρμανας Ἅγιε, πρὸς θεῖον ἔρωτα, κατιδόντων σε, πυρὸς τοῦ ἀναφθέντος σοι, ἐπιβαίνοντα ἀνδρείως.

Ἰαμάτων σοι, Χριστὸς τὴν χάριν δέδωκεν, ὡς ἐναθλήσαντι, νομίμως ὑπὲρ αὐτοῦ, παμμάκαρ Νικόλαε· ἔνθεν ἡ Κάρα σου, νέμει πάντοτε, τὰς δωρεὰς τοῖς χρήζουσιν, ἀκενώτῳ χορηγίᾳ.

Στέφος ἄφθαρτον, καὶ γέρας σε ἐκτήσατο, λαμπρῶς ἀθλήσαντα, ἡ σὴ πατρὶς Ἀθλητά· διὸ καὶ σεμνύνεται, ἐν σοὶ Νικόλαε, καὶ τὴν μνήμην σου, τὴν ἱερὰν καὶ εὔσημον, χαρμοσύνως ἑορτάζει.

Θεοτοκίον.

Γένος σέσωσται, τῆς πάλαι κατακρίσεως, τῷ θείῳ τόκῳ σου, τὸ τῶν ἀνθρώπων Ἁγνή· Χριστὸν γὰρ ἐκύησας, ζωὴν δωρούμενον, τοῖς βοῶσί σοι· χαῖρε Παρθένε Ἄχραντε, χαῖρε κόσμου σωτηρία.

Ὠδὴ η΄. Παῖδας εὐαγεῖς.

Ἔδειξας τῇ σῇ στερρᾷ ἀθλήσει, τὸ σθένος τῆς εὐσεβείας τὸ ἀήττητον, ἐν ὑστέροις ἔτεσι, θριαμβεῦον Ἅγιε, καὶ τῶν ἀπίστων ἔλυσας τὰ μηχανήματα· σαρκὸς γὰρ οὐκ ἐφρόντισας ὅλως, ἀναλισκομένης, ὑπὸ πυρὸς παμφάγου.

Ῥήσεσιν ὀμφῆς τῆς οὐρανίου, ὑπείξας ὁ κατιδὼν τὸ φῶς τὸ πρότερον, τὴν ἁγίαν κάραν σου, κεκρυμμένην εὕρατο, ὡς θησαυρὸν πολύτιμον τῆς θείας χάριτος, ἣν πίστει προσκυνοῦντες θεόφρον, πάσης ἐπηρείας, λυτρούμεθα καὶ βλάβης.

Ἄγρυπνος προστάτης Μάρτυς ἔσο, Μετσόβῳ τῇ σῇ πατρίδι τῇ τιμώσῃ σε, καὶ τὴν πόλιν Ἅγιε, τῶν Τρικκαίων φύλαττε, φαιδρῶς σε μεγαλύνουσαν τῷ σῷ ἁγίῳ ναῷ, καὶ Βαρλαὰμ τὴν Μάνδραν δὲ σκέπε, ὡς τὴν σεβασμίαν, πλουτοῦσαν Κεφαλήν σου.

Θεοτοκίον.

Σάρκα ἐξ αἱμάτων σου ἀχράντων, ὁ Λόγος ἀναλαβὼν ὁ Ὑπερούσιος, ἀσυγχύτως Πάναγνε, κόσμῳ πεφανέρωται, ἡμᾶς πρὸς ὑπερκόσμιον ἀνάγων θέωσιν· διό σε Θεοτόκε ὑμνοῦμεν, ὡς τῆς σωτηρίας, ἡμῶν ἀρχὴν καὶ ῥίζαν.

Ὠδὴ θ΄. Ἅπας γηγενής.

Ἴσχυσας Χριστοῦ, τῇ χάριτι Ἅγιε ἐνδυναμούμενος, ἐνεγκεῖν ὡς ἄσαρκος, σαρκὸς τοὺς πόνους στερρῷ φρονήματι καὶ τοῦ πυρὸς τὴν ἔκκαυσιν ἀγαλλιώμενος· ὅθεν χαίρων, πρὸς φῶς τὸ ἀνέσπερον, τῆς Ἁγίας Τριάδος ἐσκήνωσας.

Μάρτυς ἀληθής, ὁπλίτης τε ἄριστος, Χριστοῦ γενόμενος, Ἅγιε Νικόλαε, κατηγωνίσω ἐχθρῶν τὰς φάλαγγας, τῷ ὅπλῳ τῷ τῆς πίστεως, καὶ προσενήνεξαι, ὥσπερ θῦμα, τούτῳ καθαρώτατον, ἐν πυρὶ ἀνδρικῶς τελειούμενος.

Ὅλος φωταυγής, τῇ αἴγλῃ τοῦ Πνεύματος περιχεόμενος, Ἅγιε Νικόλαε, τῷ ἀθλοθέτῃ Χριστῷ παρίστασαι· διό με ἀμαυρώσεως παθῶν ἀπάλλαξον, καὶ τὸν ὕμνον, τὸν παρόντα δέξαι μου, δι' οὗ πόθῳ τοὺς ἄθλους σου ὕμνησα.

Θεοτοκίον.

Ὕψωσον ἡμῶν, καὶ νοῦν καὶ διάνοιαν, ἐκ πάσης σχέσεως, ἐπιγείου Ἄχραντε, πρὸς οὐρανίου ζωῆς τῷ ἔρωτι, καὶ τῆς μανίας λύτρωσαι τοῦ πολεμήτορος, τοῦ ὁσῶραι, καθ' ἡμῶν σφαδάζοντος, τοὺς προστρέχοντας πίστει τῇ σκέπῃ σου.

Ἐξαποστειλάριον. Τοῖς Μαθηταῖς συνέλθωμεν.

Τὸ τοῦ Σωτῆρος ὄνομα, εὐθαρσῶς καὶ ἀνδρείως, ὁμολογήσας Ἅγιε, ἔναντι τῶν τυράννων, ἀθλητικῶς ἠγωνίσω, ἀπτοήτῳ καρδίᾳ, καὶ τοῦ πυρὸς ὑπέμεινας, τὴν κατάφλεξιν χαίρων ὑπὲρ Χριστοῦ· ὅθεν ἐπαξίως ἐθαυμαστώθης, σὺν Ἀθληταῖς Νικόλαε, ὡς ἀήττητος Μάρτυς.

Καὶ τὸ τῆς Ἑορτῆς.

Εἰς τοὺς Αἴνους.

Ἱστῶμεν στίχους δ΄, καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια.

Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων.

Τὸν Νεομάρτυρα πάντες Χριστοῦ Νικόλαον, τὸν καθελόντα πᾶσαν, τοῦ ἐχθροῦ τὴν μανίαν, καὶ φλέξαντα τῆς πλάνης ὕλην σαθράν, τῷ πυρὶ τῆς ἀθλήσεως, ὡς ἀριστέα Κυρίου περιφανῆ, φιλομάρτυρες τιμήσωμεν.

www.tezaurliturgic.ro



Κώμη Μετσόβου εὐφραίνου· ἐκ σοῦ γὰρ ἤνθησε, Νικόλαος ὁ νέος, Ἀθλητὴς τοῦ Σωτῆρος, ὡς ἄνθος πανευῶδες καὶ εὐθαλές, καὶ πιστῶν τὴν διάνοιαν, τῇ εὐωδίᾳ εὐφραίνει τῇ μυστικῇ, ὡς ἀθλήσας ἀνδρικώτατα.

Τρικκαίων πόλις χορεύει ἐπὶ τῇ μνήμῃ σου, Νικόλαε τρισμάκαρ, Ἀθλητὰ γενναιόφρον· ἐν ταύτῃ γὰρ νομίμως ὑπὲρ Χριστοῦ, ἠγωνίσω μακάριε· ἣν ἀσινῆ διασώζοις πάσης ὀργῆς, μεγαλύνουσαν τοὺς ἄθλους σου.

Διὰ πυρὸς τὸν ἀγῶνα στερρῶς ἐτέλεσας, καὶ ὡς εὐῶδες θῦμα, τῷ Σωτῆρι προσήχθης· ἐντεῦθεν ἐδοξάσθης ὡς Ἀθλητής, τοῦ Χριστοῦ ἐννομώτατος, καὶ τῶν θαυμάτων πηγάζεις τὰς δωρεάς, τοῖς προστρέχουσι τῇ Κάρᾳ σου.

Δόξα... Ἦχος πλ. α΄.

Τοῦ μαρτυρίου τὸ σκάμμα, ἀθλητικῶς ἀνύσας, μαρτυρικῆς ἀναρρήσεως, ἠξιώθης ἔνδοξε· τῶν γὰρ παθῶν τοῦ Χριστοῦ, τοῖς ὑπὲρ τῆς εὐσεβείας πόνοις, σύμμορφος ἐγένου, καὶ τῆς αὐτοῦ ἐγέρσεως, μυστικῶς ἐκτήσω τὴν λαμπρότητα· ὡς γὰρ χρυσὸς ἐν πυρὶ ἔλαμψας, καὶ πρὸς φῶς τὸ ἄδυτον, τῆς ἀϊδίου δόξης ἐξεδήμησας, καλῶς τελέσας τὸν ἀγῶνά σου. Ἀλλ' ὦ Νεομάρτυς Νικόλαε, τῷ ζωοδότῃ Λόγῳ πρέσβευε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν... Τῆς τυχούσης Ἑορτῆς, ἢ τὸ τοῦ Πάσχα, Ἀναστάσεως ἡμέρα...

Δοξολογία μεγάλη καὶ ἀπόλυσις.

## ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Τὰ Τυπικά, οἱ Μακαρισμοί, καὶ ἐκ τοῦ κανόνος τοῦ Ἁγίου ἡ γ΄ καὶ στ΄ Ὠδή. Ἀπόστολον τῆς κζ΄ Κυριακῆς, Εὐαγγέλιον τῆς Τετάρτης τῆς γ΄ ἑβδομάδος τοῦ Ματθαίου.

Κοινωνικόν. Εἰς μνημόσυνον αἰώνιον...

Μεγαλυνάριον.

Χαίροις τοῦ Μετσόβου θεῖος βλαστός· χαίροις ὁ Τρικκάλων, ἀντιλήπτωρ καὶ ἀρωγός· χαίροις ὁ παρέχων, ἰάσεων τὴν χάριν, Νικόλαε τρισμάκαρ, τοῖς σοῖς προστρέχουσι.

Δίστιχον.

Νικόλαε νίκην μοι καλλίστην δίδου
Γερασίμῳ μέλψαντι τοὺς σοὺς ἀγῶνας.

